**(957)** *διότι τέτταρα μὲν στοιχεῖα θεῷ καθάπερ τεχνίτῃ πρὸς τὴν τῶν ὅλων ἐργασίαν ὑποκείμενα, τούτων δ' αὖ πάλιν ⟨ἐν⟩ ἀλλήλοις διαφοραί, πλὴν γῆ μὲν καὶ ὕδωρ ὑποβέβληται δίκην ὕλης ποιούμενα καὶ πλαττόμενα καὶ μετέχοντα κόσμου καὶ τάξεως καὶ τοῦ φύειν γε [φασί] καὶ γεννᾶν, ὅσον ἂν μεταλάβῃ παρὰ ⟨τῶν⟩ ἑτέρων, πνεῦμά ⟨φα⟩μεν καὶ πῦρ, ποιούντων καὶ δημιουργούντων καὶ ⟨τὰ⟩* C *κείμενα νεκρὰ τέως ἐπὶ τὴν γένεσιν ἀνιστάντων. τῶν δὲ δυεῖν τούτων αὖθις τὸ πῦρ ἄρχει καὶ ἡγεμονεύει. δῆλον δ' ἐκ τῆς ἐπαγωγῆς· γῆ τε γὰρ ἄνευ θερμῆς οὐσίας ἄγονος καὶ ἄκαρπος· τὸ δὲ πῦρ ἐγκραθὲν καὶ διαχέαν παρίστησιν εἰς τὴν γένεσιν ὀργῶντα *** οὐδεμίαν γὰρ αἰτίαν εὕροι τις ἄν, δι' ἣν ἄγονοι πέτραι καὶ τὰ κατεσκληκότα τῶν ὀρῶν, πλὴν ὅτι πυρὸς οὐδ' ὅλως ἢ ὀλίγον μετέσχηκε.*

9. *Τὸ δ' ὅλον τοσοῦτον ἀπέχει πρὸς σωτηρίαν ἢ ἑτέρων γένεσιν αὐτοτελὲς εἶναι, ὥστε καὶ αὐτῷ φθορὰ πυρὸς ἔνδεια· συνέχει γὰρ ἡ θερμότης ἕκαστον ἐν τῷ εἶναι καὶ ἐπὶ τῆς ἰδίας οὐσίας φυλάττει καθάπερ καὶ τἆλλα καὶ* D *τὸ ὕδωρ· ἀπ[εχ]όντος δ' ἢ ἐνδεήσαντος σήπεται, καὶ θάνατος ὕδατι καὶ ὄλεθρος ἐπίλειψις θερμότητος. ἀμέ-*